καὶ μέθης καὶ τὰ τούτων ἔτι πρότερα. Ταῦτα γὰρ πάντα
εἴρηται τοῦ κατιδεῖν ἕνεκα πῶς ποτ᾽ ἂν πόλις ἄριστα
οἰκοίη, καὶ ἰδίᾳ πῶς ἄν τις βέλτιστα τὸν αὑτοῦ βίον διαγάγοι· b
εἰ δὲ δή τι πεποιήκαμεν προὔργου, τίς ποτ᾽ ἂν ἔλεγχος
γίγνοιτο ἡμῖν πρὸς ἡμᾶς αὐτοὺς λεχθείς, ὦ Μέγιλλέ τε καὶ
Κλεινία ;

ΚΛ. Ἐγώ τινα, ὦ ξένε, μοι δοκῶ κατανοεῖν. Ἔοικεν κατὰ
τύχην τινὰ ἡμῖν τὰ τῶν λόγων τούτων πάντων ὧν διεξήλ-
θομεν γεγονέναι· σχεδὸν γὰρ εἰς χρείαν αὐτῶν ἔγωγ᾽ ἐλήλυθα
τὰ νῦν, καὶ κατά τινα αὖ καιρὸν σύ τε παραγέγονας ἅμα καὶ
Μέγιλλος ὅδε. Οὐ γὰρ ἀποκρύψομαί σφω τὸ νῦν ἐμοὶ c
συμβαῖνον, ἀλλὰ καὶ πρὸς οἰωνόν τινα ποιοῦμαι. Ἡ γὰρ
πλείστη τῆς Κρήτης ἐπιχειρεῖ τινα ἀποικίαν ποιήσασθαι
καὶ προστάττει τοῖς Κνωσίοις ἐπιμεληθῆναι τοῦ πράγματος,
ἡ δὲ τῶν Κνωσίων πόλις ἐμοί τε καὶ ἄλλοις ἐννέα· ἅμα δὲ
καὶ νόμους τῶν τε αὐτόθι, εἴ τινες ἡμᾶς ἀρέσκουσιν, τίθεσθαι
κελεύει, καὶ εἴ τινες ἑτέρωθεν, μηδὲν ὑπολογιζομένους τὸ
ξενικὸν αὐτῶν, ἂν βελτίους φαίνωνται. Νῦν οὖν ἐμοί τε καὶ
ὑμῖν ταύτην δῶμεν χάριν· ἐκ τῶν εἰρημένων ἐκλέξαντες, τῷ d
λόγῳ συστησώμεθα πόλιν, οἷον ἐξ ἀρχῆς κατοικίζοντες,
καὶ ἅμα μὲν ἡμῖν οὗ ζητοῦμεν ἐπίσκεψις γενήσεται, ἅμα
δὲ ἐγὼ τάχ᾽ ἂν χρησαίμην εἰς τὴν μέλλουσαν πόλιν ταύτῃ
τῇ συστάσει.

ΑΘ. Οὐ πόλεμόν γε ἐπαγγέλλεις, ὦ Κλεινία· ἀλλ᾽ εἰ μή
τι Μεγίλλῳ πρόσαντες, τὰ παρ᾽ ἐμοῦ γε ἡγοῦ σοι πάντα
κατὰ νοῦν ὑπάρχειν εἰς δύναμιν.

ΚΛ. Εὖ λέγεις.

ΜΕ. Καὶ μὴν καὶ τὰ παρ᾽ ἐμοῦ.

ΚΛ. Κάλλιστ᾽ εἰρήκατον. Ἀτὰρ πειρώμεθα λόγῳ πρῶτον e
κατοικίζειν τὴν πόλιν.